School of Theology at Claremont
1001 1351147

The Library

SCHOOL OF THEOLOGY AT CLAREMONT

WEST FOOTHILL AT COLLEGE AVENUE
CLAREMONT, CALIFORNIA

Digitized by the Internet Archive
in 2024

https://archive.org/details/liturgischetexte0000dran

K 14/802

KLEINE TEXTE FÜR THEOLOGISCHE UND PHILOLOGISCHE VORLESUNGEN UND ÜBUNGEN
HERAUSGEGEBEN VON HANS LIETZMANN
35

LITURGISCHE TEXTE

III

DIE KONSTANTINOPOLITANISCHE MESSLITURGIE

VOR DEM IX JAHRHUNDERT

ÜBERSICHTLICHE ZUSAMMENSTELLUNG DES WICHTIGSTEN QUELLENMATERIALS

VON

DR. ANTON BAUMSTARK

PREIS [illegible] M.

BONN
A. MARCUS UND E. WEBER'S VERLAG
1909

Seit 1927 Verlag von WALTER DE GRUYTER & CO.

Verlag von J. C. B. Mohr (Paul Siebeck) in Tübingen

Handbuch zum Neuen Testamer

in Verbindung mit

H. Gressmann, W. Heitmüller, E. Klostermann, F. Niebergall, E. Preuschen, L. Radermacher, H. Schlosser, P. Wendland, H. Windisch.

herausgegeben von

Hans Lietzmann

Erschienen sind:

Erste Lieferung. (Band III. **Die Briefe des Apostels Paulus** Bogen 1—5.) **An die Römer.** Erklärt von Hans Lietzmann. Subskr.-Preis M. 1.35. Einzelpreis M. 1.50.

Zweite Lieferung. (Band V 1, Bogen 1—3 und V 2 Bogen 1—3.) **Allgemeine Einleitung zur praktischen Auslegung und praktische Auslegung zum Römerbrief.** Von F. Niebergall. Subskr.-Preis M. 1.60. Einzelpreis M. 1.80.

Dritte und vierte Lieferung. (Band I 2.) **Die hellenistisch-römische Kultur in ihren Beziehungen zu Judentum und Christentum.** Von P. Wendland. Mit 5 Abbild. u. 12 Tafln. Subskr.-Preis M. 4.50. Einzelpreis M. 5.—. Gebunden M. 7.—.

Fünfte Lieferung. (Band III. **Die Briefe des Apostels Paulus** Bogen 6—11.) **An die Corinther I.** Erklärt von Hans Lietzmann. Subskr.-Preis M. 1.44. Einzelpreis M. 1.60.

Sechste (Doppel-) Lieferung. (Band II. **Die Evangelien** Bogen 1—10.) **Markus.** Unt. Mitwkg. von Hugo Gressmann erklärt v. Erich Klostermann. Subskr.-Preis M. 2.56. Einzelpr. M. 2.85.

Siebente Lieferung. (Bd. V 1, Bg. 4—8.) **Praktische Auslegung zu Markus.** Von Fr. Niebergall. Sub.-Pr. M. 1.26. Ezpr. M. 1.40.

Achte Lieferung. (Band V 1, Bogen 9 und 10 und V 2, Bogen 4 und 5.) **Praktische Auslegung zu Matthäus** und **zu I. Cor.** Von Fr. Niebergall. Subskr.-Preis M. 1.08. Einzelpreis M. 1.20.

Neunte Lieferung. (Bd. V 1, Bogen 11—14.) **Praktische Auslegung zu Lukas und Apostelgeschichte.** Von Fr. Niebergall. Subskr.-Preis M. 1.08. Einzelpreis M. 1.20.

Zehnte Lieferung. (Bd. V 1, Bg. 15—18.) **Praktische Auslegung zu Johannes.** V. Fr. Niebergall. Sub.-Pr. M. 1.08. Ez.-Pr. M. 1.20.

Die in sich abgeschlossenen Lieferungen und Bände des Werkes werden einzeln abgegeben.

Prospekte und Textproben stehen zur Verfügung.

Übersicht über das Sammelwerk:

Band I: 1. Grammatik des neutestamentlichen Griechisch von L. Radermacher. 2. Die hellenistisch-römische Kultur in ihren Beziehungen zu Judentum und Christentum von P. Wendland. (Erschienen. Einzelpreis M. 5.—. Gebd. M. 7.—.) 3. Die urchristlichen Literaturformen von P. Wendland.

Band II: 1. Die Synoptiker unter Mitwirkung von H. Gressmann, erklärt von E. Klostermann. Erschienen Markus: Lieferung 6. 2. Johannesevangelium, erklärt von E. Klostermann.

Band III: 1. Die vier paulinischen Hauptbriefe erklärt von H. Lietzmann. Erschienen Römerbrief und I. Korintherbrief: Lfg. 1 u. 5. 2. Die neun übrigen paulinischen Briefe erklärt von E. Klostermann und H. Lietzmann.

(Fortsetzung siehe 3. Umschlagseite.)

KLEINE TEXTE FÜR THEOLOGISCHE UND PHILOLOGISCHE VORLESUNGEN UND ÜBUNGEN
HERAUSGEGEBEN VON HANS LIETZMANN
35

BV
185
B29

LITURGISCHE TEXTE

III

DIE KONSTANTINOPOLITANISCHE MESSLITURGIE

VOR DEM IX JAHRHUNDERT

ÜBERSICHTLICHE ZUSAMMENSTELLUNG DES WICHTIGSTEN QUELLENMATERIALS

VON

DR. ANTON BAUMSTARK

II

PREIS 0,40 M.

BONN
A. MARCUS UND E. WEBER'S VERLAG
1909

SGH 1927 Verlag von
WALTER DE GRUYTER & Co

THEOLOGY LIBRARY
CLAREMONT, CALIF.

Aus der zeit von der wende des 4. zum 5. bis zu derjenigen des 8. zum 9. jh. haben wir zur geschichte der stadtkonstantinopolitanischen messliturgie abgesehen von verhältnismässig sehr wenigen einzelnotizen (namentlich bei Eutychios de paschate et de ss. eucharistia, im Chronicon Paschale und in den kanones der synode in Trullo vom j. 692) fünf hauptquellen: **1.** die bezugnahmen auf die messliturgie in den konstantinopolitanischen werken des h. Johannes Chrysostomos (X), **2.** die sehr ausführliche form des eucharistischen hochgebets, die, vom nestorianischen katholikos Mâr(j) Aβâ I (536—552) ins Syrische übertragen, den grundstock der syrisch-nestorianischen „Liturgie des Nestorios" bildet und tatsächlich das von Nestorios in Kpel benützte formular darstellen dürfte (N), **3.** die mystagogie des „bekenners" Maximos bezw. liturgiezitate in anderen Schriften desselben (M, und zwar ohne nähere angabe speziell die Mystagogia), **4.** die liturgieerklärung des patriarchen Germanos I († 740) in der von Anastasius bibliothecarius für Karl den Kahlen gefertigten lateinischen übersetzung ihrer ursprünglichen gestalt[1] (G) und **5.** den text der endgültigen sog. Chrysostomosliturgie in der ältesten hs., dem Barberinus, dessen text nach massgabe der eingeschalteten diptycha derjenige der zeit zwischen 788 und 797 ist (Ch).

Ich handle an anderem orte[2] eingehend über N und stelle im folgenden das dort in allen einzelheiten näher begründete endergebnis dieser untersuchungen in gestalt eines rekonstruktionsversuches des griechischen originals neben Ch. In fussnoten ist das wichtigste aus X, M und anderen quellen nach BRIGHTMAN *Liturgies Eastern and Western.* I. Oxford 1896. S. 527—539 bezw. aus G aufgenommen. Grundsätzlich beiseite gelassen ist nur das auf die diakonika bezügliche material von X, das noch einer spezialuntersuchung bedarf.

In ⟨ ⟩ sind bei Ch ergänzungen aus dem modernen texte des formulars, bei N solche eingeschlossen, die ich a. a. o. begründet habe.

Achern. Τῇ μνήμῃ τοῦ ἁγίου ἱερομάρτυρος
Εὐτυχοῦς (24. August) 1908.

Dr. A. Baumstark.

---

[1]) Erstmals hgeg. von PÉTRIDÈS *Traités liturgiques de Saint Maxime et de Saint Germain traduits par Anastase le bibliothécaire, Revue de l'Orient Chrétien X (1905) S. 289—313. 350—364.*

[2]) Χρυσοστομικά. *Studi e ricerche intorno a S. Giovanni Crisostomo a cura del comitato per il XV⁰ centenaris della sua morte.* Rom. Fascicolo II. S. 771—857.

Ch: 1. Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ προθεὶς ἑαυτὸν ἀμνὸν ἄμωμον ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· ἔφιδε ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἄρτον τοῦτον καὶ ἐπὶ τὸ ποτήριον τοῦτο, καὶ ποίησον αὐτὸ ἄχραντόν σου σῶμα καὶ τίμιόν σου αἷμα εἰς μετάληψιν ψυχῶν καὶ σωμάτων· ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομα τοῦ Πατρὸς (καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν).

2.

3. *Εὐχὴ τῆς εἰσόδου*· Εὐεργέτα καὶ τῆς κτίσεως πάσης δημιουργέ, πρόσδεξαι προσιοῦσαν τὴν ἐκκλησίαν καὶ ἑκάστου τὸ σύμφερον ἐκπλήρωσον καὶ ἄγαγε πάντας εἰς τελειότητα, καὶ ἀξίους ἡμᾶς ἀπέργασαι τῆς βασιλείας σου χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ (εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν).

4. *Εὐχὴ τοῦ τρισαγίου*· Ἅγιε ἁγίων, ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος, ἅγιος ὑπάρχεις, ὁ τὴν ἀνυπέρβλητον δόξαν ἐν αὐτῷ κεκτημένος· ἅγιος ὁ Θεός, ὁ λόγῳ τὰ πάντα συστησάμενος· ἅγιος ὁ Θεός, ὃν τὰ τετράμορφα ζῶα ἀκαταπαύστῳ φωνῇ δοξάζουσι· ἅγιος ὁ Θεός, ὁ ὑπὸ πλήθους ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων ἄφραστα τρεμόντων προσκυνούμενος καὶ δοξολογούμενος· ἅγιος ὁ Θεός, ὁ τοῖς πολυόμμασι Χερουβὶμ τῇ ἀσιγήτῳ φωνῇ τῷ ἀκοιμήτῳ ὄμματι ἐπιβλέπων καὶ ἐπικλίνων τὸ οὖς σου· ἅγιος ὁ Θεός,

---

1. **G** (XXXI): Suscipiens sacerdos in disco a diacono . . . oblationem sumensque lanceam et purgans eam deindeque in speciem crucis designans eam dicit: Tamquam ovis ad occisionem ductus est et sicut agnus coram tondente se sine voce. Quo dicto positaque iam oblatione in disco sancto, digito extenso super eam, hanc demonstrans affatur: Sic non aperuit os suum. In humilitate ipsius indicium eius sublatum est; generationem autem eius quis enarrabit? Quia tolletur a terra vita eius. Et . . . accepto sancto calice, fundente in eum diacono vinum et aquam iterum dicit sacerdos: Exivit de latere Jesu sanguis et aqua, et qui vidit, testimonium perhibuit et verum est testimonium eius. Deinde . . . posito sancto calice in divina mensa, digito ostendit . . . iterum dicens quia: Tres sunt qui testimonium dant, spiritus, aqua et sanguis et tres unum sunt nunc et semper et in saecula saeculorum. Dehinc accipiens turibulum et adolens incensum facit orationem propositionis. — 2. **G** (XXXII): Antiphonae sanctae missae . . . — 3. **M** (8, 9): Ἡ πρώτη εἰς τὴν ἁγίαν ἐκκλησίαν τοῦ ἀρχιερέως καὶ ἡ τοῦ λαοῦ σὺν τῷ ἱεράρχῃ εἴσοδος. **G** (XXXIII): Introitus . . evangelii . . . — 4. **G** (XXXIV): Trisagius hymnus est ita . . .: Sanctus Deus . . . Sanctus fortis . . . Sanctus immortalis miserere nostri . . . Exclamare autem unum de

ὁ τοῖς ἑξαπτερύγοις Σεραφὶμ ἐποχούμενος καὶ κροτούντων τὰς ἑαυτῶν πτέρυγας καὶ τὸν ἐπινίκιον ὕμνον ὑμνούντων τὸ Ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαώθ, ὁ προσδεχόμενος· ἅγιος γὰρ εἶ ὁ Θεὸς ἡμῶν ὃν ἀρχαὶ καὶ ἐξουσίαι (καὶ) κυριότητες ἐν οὐρανῷ προσκυνοῦσιν, καὶ ἐπὶ γῆς ἄνθρωποι ἀνυμνοῦσιν καὶ σέβουσιν· αὐτός, φιλάνθρωπε, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον προσφερόμενον παρ' ἡμῶν καὶ παρὰ παντὸς τοῦ λαοῦ σου καὶ κατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη καὶ τοὺς οἰκτιρμούς σου, πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων· Ἐκφών. Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύει, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν (τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν).

5. *Εὐχὴ τῆς καθέδρας τοῦ θυσιαστηρίου*· Δέσποτα Κύριε, Θεὸς τῶν δυνάμεων, σῶσον τὸν λαόν σου καὶ εἰρήνευσον αὐτὸν τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, διὰ τοῦ τύπου τοῦ τιμίου σου σταυροῦ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

6.—11.

12. *Εὐχὴ τῆς ἐκτενῆς*· Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. Ἐκφών. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ (τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν).

---

cantoribus ab ambone attendentem ad altare: Gloria, dicturum post triplicationem trisagii: . . . Benedicite domne; gloria . . . aut: Benedic domne; gloria . . . — 5. **M** (Quaest. et dubia 68): Ὁ ἀρχιερεὺς ἀπὸ τοῦ ὕψους τῆς καθέδρας τῇ ἐκκλησίᾳ ἐπιφθέγγεται· Εἰρήνη πᾶσι. Ὁ λαὸς ἀποκρίνεται· Καὶ τῷ πνεύματι σοῦ. **G** (XXXVI f.): Porro ascendere pontificem ad consessorium et signare populum . . . A populo respondetur: Et cum spiritu tuo. Vgl. **X** (in Col. III 3): Ὅταν εἰσέλθῃ ὁ τῆς ἐκκλησίας προεστώς, εὐθέως λέγει· Εἰρήνη πᾶσιν. — 6. **X** (in Act. Ap. XIX 5): Ἔστηκεν ὁ διάκονος μέγα βοῶν καὶ λέγων· Πρόσχωμεν, καὶ τοῦτο πολλάκις . . . μετ' ἐκεῖνο ἄρχεται ὁ ἀναγνώστης τῆς προφητείας . . . — 7. **G** (XXXIX): Responsorium . . . — 8. **G** (XL): Apostolus . . . — 9. **G** (XLI): Alleluia . . . — 10. **M**: Ἡ θεία τοῦ ἁγίου εὐαγγελίου ἀνάγνωσις. **G** (XLIII): Sanctum evangelium . . . — 11. **X** (in Col. III 3): Ὅταν ὁμιλῇ· Εἰρήνη πᾶσιν. **G** (XLV): Summus sacerdos populum signat. Vgl. Conc. in Trul. Can. 19: δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας ἐν πάσαις μὲν ἡμέραις, ἐξαιρέτως δὲ ταῖς κυριακαῖς πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς τῆς

13. *Εὐχὴ κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς τοῦ Χρυσοστόμου·* Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα, καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ· Ἔκφων. Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ⟨ὄνομά σου, τοῦ Πατρός καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν⟩).

14.

15. *Εὐχὴ πιστῶν α' μετὰ τὸ ἁπλωθῆναι τὸ εἱλητόν·* Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν ἡμῶν, καὶ ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπως ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν ἔσῃ ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος· Ἔκφων. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, ⟨τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν⟩).

εὐσεβείας λόγους. — 13 **M** (14): Ὁ ἀρχιερεὺς κάτεισι τοῦ θρόνου. Ἡ τῶν κατηχουμένων καὶ τῶν λοιπῶν τῶν ἀναξίων ἀπόλυσίς τε καὶ ἐκβολὴ διὰ τῶν λειτουργῶν γίνεται. **G** (XLVI): Catechumeni exeunt. — 14. **G** (XLIX): Cherubim hymnus indicat per diaconorum praecedentium viamque facientium flabellorumque seraphicarum imaginationum contemplationem . . . Ein dem ὕμνος Χερουβικός der messe entsprechender gesang wurde in die λειτουργία τῶν προηγιασμένων nach Chron. Paschale ad ann. 645 in Konstantinopel in diesem j. eingeführt. Er selbst wäre nach Kedrenos Hist. pag. 386 C unter Justinos II (565—578) entstanden. Vgl. auch Eutychios (Patriarch von Konstantinopel 552—582) de paschate et ss. eucharistia 7: ὥστε ματαιάζουσιν οἱ τὸν τῆς προθέσεως ἄρτον καὶ τὸ κερασθὲν ἀρτίως ποτήριον τῷ ἁγίῳ θυσιαστηρίῳ προσάγειν μελλούσης τῆς λειτουργικῆς τάξεως ὕμνον τινὰ ψαλμικὸν λέγειν παραδεδωκότες τῷ λαῷ τῷ γινομένῳ πράγματι πρόσφορον, ὡς νομίζουσι „βασιλέα δόξης" προσφέρειν ἢ καὶ προσαγορεύειν τὰ εἰσφερόμενα καὶ μηδέπω τελειω-

Εἰχὴ πιστῶν β'. Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ δῷς ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου· χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου, καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύοντάς σοι ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι· *Ἐκφών.* Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν (τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *Ἀμήν*).

16. *Εἰχὴ τῆς προσκομιδῆς, τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, μετὰ τὸ ἀποτεθῆναι τὰ ἅγια δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ πληρῶσαι τὸν λαὸν τὸν μυστικὸν ὕμνον.* Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ πρόσαγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρα καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου τοῦ γενέσθαι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ ἐπὶ πάντα τὸν λαόν σου· *Ἐκφών.* Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σον Υἱοῦ, μεθ' οὗ εὐλογητὸς (εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας). *Ὁ λαός·* *Ἀμήν.*

17. *Ὁ ἱερεύς·* Εἰρήνη πᾶσιν. *Ὁ λαός·* Καὶ τῷ πνεύματί σου. *Ὁ διάκονος·* *Ἀγαπήσωμεν ἀλλήλους.*

18. *Καὶ μετὰ τὸ δοθῆναι τὴν ἀγάπην λέγει ὁ διάκονος·* Τὰς θύρας· τὰς θύρας πρόσχωμεν.

19. *Ὁ λαὸς τὸ Πιστεύω λέγει.*

θέντα διὰ τῆς ἀρχιερατικῆς ἐπικλήσεως. — 17. **X** (in Col. III 3): ὅταν ἀσπάζεσθαι κελεύῃ· Εἰρήνη πᾶσιν. **M** (14): Ὁ ἀσπασμὸς προσφωνεῖται. **G** (LV): Osculum . . . spirtiuale, quod omnibus pronuntiatur, . . . — 18. **M** (13, 15): Ἡ κλεῖσις τῶν θυρῶν. **G** (LVI): Observatio . . ., quae fit ostiorum sanctae Dei ecclesiae, . . . — 19. **M** (18): Ἡ τοῦ θείου συμβόλου τῆς πίστεως γίνεται παρὰ πάντων ὁμολογία. **G** (LVII): Porro diuini symboli fidei, quae fit ab universis, confessio: . . . Vgl. Theodor. Lect. Hist. Eccl. II 32: Τιμόθεος (Patriarch von Konstantinopel 512–518) τὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων τῆς πίστεως σύμβολον καθ' ἑκάστην σύναξιν λέγεσθαι παρεσκεύασεν ἐπὶ διαβολῇ δηθεν

20. Ὁ διάκονος· Στῶμεν καλῶς, (στῶμεν μετὰ φόβου, τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν). Ὁ λαός· Ἔλεος, εἰρήνη(ν, θυσίαν αἰνέσεως). Ὁ ἱερεὺς λέγει· Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ παντων ὑμῶν. Ὁ λαός· Καὶ μετὰ τοῦ πνεύματός σου. Ὁ ἱερεύς· Ἄνω σχῶμεν τὰς καρδίας. Ὁ χορός· Ἔχωμεν πρὸς τὸν Κύριον. Ὁ ἱερεύς· Εὐχαριστήσωμεν τῷ Κυρίῳ. Ὁ χορός· Ἄξιον καὶ δίκαιον.

21. Ὁ ἱερεὺς ἀπάρχεται τῆς ἁγίας ἀναφορᾶς· Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες καὶ παραπεσόντας

N: 21. Ὁ ὢν δέσποτα Κύριε Θεὲ Πατὴρ παντοκράτωρ, ὁ ἀεὶ ὢν καὶ πάντοτε ὡς αὕτως ὤν, ἄξιόν ἐστι καὶ πρέπον καὶ δίκαιον σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν, σὲ δοξάζειν, σὲ ὑπερυψοῦν ἐν παντὶ καιρῷ καὶ τόπῳ. Σὺ γὰρ εἶ Θεὸς ἀληθινός, ἀπερινόητος, ἀνέκφραστος, ἀνερμήνευτος, ἀόρατος, ἀσύγκριτος, ἀπαθής, ἀθάνατος, ὑπεράνω πάσης ἐννοίας καὶ φαντασίας τῶν γενητῶν, ὁ πανταχοῦ ὤν, σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Σὺ Κύριε δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος εἰς τὸ προσφέρειν σοι ἐν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως καρποὺς πνευματικοὺς τῶν χειλέων ἡμῶν, τὴν λογικὴν ταύτην λατρείαν, ὅτι σὺ εἶ Θεὸς ἡμῶν καὶ πατὴρ τοῦ βασιλέως καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν, ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι, παρ' οὗ τοῦ Πνεύματος τοῦ ἁγίου ἡ γνῶσις ἐξεφάνη τοῦ τῆς ἀληθείας πνεύματος, παρ' οὗ πᾶσα φύσις λογικὴ ὁρωμένη καὶ οὐχ ὁρωμένη δυναμουμένη καὶ ἁγιαζομένη καὶ τελειουμένη καὶ πληρουμένη πάντοτέ σοι τὴν ἀΐδιον ἀσιγήτως ἀναπέμπει δοξολογίαν καὶ τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ Πνεύματι τῷ ἁγίῳ, ὅτι τὰ πάντα δοῦλα σά. Σὺ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες καὶ ἔθηκας ἡμᾶς

Μακεδονίου. — 20. **X** (in Hebr. XXII 3): μετὰ τῶν χειρῶν καὶ τὸν νοῦν ἀναλάβωμεν· ἴστε οἱ μεμνημένοι ἃ λέγω· τάχα καὶ ἐπιγινώσκετε τὸ λεχθὲν καὶ συνορᾶτε ὅπερ ᾐνιξάμην· ἐπάρωμεν εἰς ὕψος τὴν διάνοιαν. **G** (LVIII): Sacerdos . . . exaltat velum et dicit: Stemus bene, stemus cum timore . . . attendamus sanctam oblationem . . . in pace offerendam. Populus clamat resurrectionis Christi gratiam: Misericordiam, pacem, sacrificium laudis. Sacerdos docet populum trinam Dei cognitionem,

ἀνέστησας πάλιν καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν σου τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι καταξίωσον, καίτοι σοι παρεστήκεισαν χιλιάδες ἀρχαγγέλων καὶ μυριάδες ἀγγέλων, τὰ Χερουβίμ, καὶ τὰ Σεραφὶμ ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά, *Ἐκφών*. Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα ⟨,κεκραγότα, καὶ λέγοντα⟩·

22. ⟨Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.⟩

⟨ἐν τῷ παραδείσῳ τῆς τρυφῆς⟩. Παραπεσόντας δὲ καὶ ἀπολλυμένους ἀνεκαίνισας καὶ ἀνέστησας πάλιν καὶ ἐπισκεπτόμενος ἡμᾶς οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, ὑπὲρ πάντων ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν σου τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι καταξίωσον. Τίς γὰρ ἱκανὸς λαλῆσαι τὰ θαυμάσια τῆς δυναστείας σου, ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις σου; Ὅτι πάσης κτίσεως οὐδὲν στόμα καὶ οὐδεμία γλῶττα ἀρκέσει εἰς τὸ διηγήσασθαι τὴν μεγαλοπρέπειάν σου, καίτοι σοι παρειστήκεισαν χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἀγγέλων καὶ ἀρχαγγέλων, μεταρσίων, πτερωτῶν, πάντων ὁμοῦ ἀκαταπαύστως καὶ ἀσιγήτως τὴν ἀΐδιον δοξολογίαν λαμπρᾷ τῇ φωνῇ ᾀδόντων, βοώντων ἑτέρου πρὸς τὸν ἕτερον, κεκραγότων καὶ λεγόντων·

. . . . . .

. . . . . .

. . . . . .

---

quam per gratiam Christi didicit: Gratia sanctae et consubstantialis trinitatis cum omnibus vobis. Populus pariter confitetur et simul orat ac dicit: Et cum spiritu tuo. Deinde sacerdos . . . exclamat: Videte, sursum habeamus corda. Omnes protestantur dicentes: Habemus ad dominum. Dein sacerdos: Gratias agamus domino. Populus pollicetur dicens: Dignum et iustum est. — 22. **G** (LIX): Deinde populus . . . clamat: Sanctus, sanctus, sanctus dominus sabaoth . . . hosanna in excelsis, benedictus, qui venit in nomine Domini. Vgl. **X** (in Col. IX 2): τίς ὁ ὕμνος τῶν ἄνω, τί λέγει τὰ χερουβίμ, ἴσασιν οἱ πιστοί.

23. Ὁ δὲ ἱερεὺς μυστικῶς: Μετὰ τούτων καὶ ἡμεῖς τῶν δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον, ὃς ἐλθὼν

---

23. Μετὰ τούτων καὶ ἡμεῖς τῶν ἐπουρανίων δυνάμεων, δέσποτα φιλάνθρωπε ὁ Πατὴρ τῶν οἰκτιρμῶν, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ ὡς ἀληθῶς καὶ ἔνδοξος ὄντως καὶ ὕψιστος καὶ ὑπερυψούμενος, ὁ καταξιώσας τοὺς ἐπὶ γῆς προσκυνητάς σου ὁμοιωθῆναι τοῖς ἐν οὐρανῷ σε δοξολογοῦσιν. Εὐλογημένος, Κύριε, καὶ ὁ μονογενής σου Υἱός, ὁ Θεὸς Λόγος, ὁ ἐκ τοῦ κόλπου σου ἀρρήτως γενηθείς, ὃς ἐν μορφῇ σου ὑπάρχων καὶ ὢν ἀπαύγασμα (τῆς δόξης) καὶ χαρακτὴρ τῆς ὑποστάσεώς σου οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοί, ἀλλὰ διὰ τὴν πάντων σωτηρίαν ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών, γενόμενος ἐκ γυναικός, γενόμενος ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ καὶ οἱ ἐν Ἀδὰμ ἀποθνήσκοντες ζωοποιηθῶσιν ἐν αὐτῷ, καὶ κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας. Διήνοιξε τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν τοὺς τετυφλωμένους· ὡδοποίησεν ἡμῖν ὁδὸν σωτηρίας· ἐφώτισεν ἡμᾶς τῷ φωτὶ τῆς θεογνωσίας· ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι καὶ καθαρίσας ἡμᾶς τῷ λούτρῳ τοῦ ὕδατος καὶ χαρισάμενος ἡμῖν τὸν ἁγιασμὸν τῇ δωρεᾷ τοῦ ἁγίου Πνεύματος τοὺς συνταφέντας αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον ἀνορθώσας ἀνεβίβασε καὶ συνεκάθισεν ἑαυτῷ ἐν οὐρανοῖς κατὰ τὴν ἐπαγγελίαν τῆς βουλῆς αὐτοῦ. Καὶ ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ εἰς τέλος ἠγάπησεν αὐτοὺς καὶ γενόμενος ἀντίλυτρον ὑπὲρ τοῦ γένους ἡμῶν ἔδωκεν ἑαυτὸν ὑπὲρ πάντων τῷ βασιλεύοντι ἡμῶν θανάτῳ, ἐν ᾧ κατειχόμεθα πεπραμένοι ὑπὸ τῆς ἁμαρτίας. Ἔσωσεν ἡμᾶς λυτρῶν τῷ τιμίῳ αἵματι αὐτοῦ καὶ κατελθὼν εἰς τὸν ᾅδην ἔλυσε τὰς ὠδῖνας τοῦ θανάτου. Καθότι δὲ οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ, ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, γενόμενος ἀπαρχὴ τῶν κεκοιμημένων, ἵνα ᾖ αὐτὸς ἐν πᾶσιν πρωτεύων, καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου τοῦ Θεοῦ. Κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τῆς σωτηρίας ἡμῶν ταῦτα τὰ μυστήρια, ἃ προτεθείκαμεν ἐνώπιόν σου. Μέλλων γὰρ παραδίδοσθαι ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, κατὰ τὸν νόμον Μωσέως ποιήσας τὸ πάσχα μετὰ τῶν

καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτόν, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας καὶ εὐλογήσας, ἔκλασεν καὶ ἔδωκεν τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών· Ἐκφών. Λάβετε, φάγετε· τοῦτ' ἐστὶν τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν. Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· Ἐκφών. Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτ' ἐστὶν τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁ λαός· Ἀμήν. Ὁ ἱερεὺς μυστικῶς· Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας, Ἐκφών. Τὰ σὰ ἐκ τῶν σῶν προσφέροντες κατὰ πάντα καὶ διὰ πάντα·

24. Ὁ λαός· Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.)

25. Ὁ ἱερεὺς μυστικῶς λέγει· Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρα-

---

μαθητῶν αὐτοῦ τὸ αὐτοῦ εἰσήνεγκε πάσχα πρὸ τοῦ θανεῖν, δι' οὗ αὐτοῦ τὴν μνήμην κατὰ τὴν διάταξιν αὐτοῦ ἀποτελοῦμεν, ἕως ἂν φανερωθῇ ἀπ' οὐρανοῦ. Καὶ λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ καὶ ἀχράντων καὶ ἀμωμήτων χειρῶν εὐλογήσας, κλάσας ἔδωκεν τοῖς αὐτοῦ μαθηταῖς εἰπών· Λάβετε, φάγετε ἐξ αὐτοῦ πάντες· τοῦτ' ἐστὶν τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁμοίως καὶ τὸ ποτήριον κεράσας ἐξ οἴνου καὶ ὕδατος, εὐλογήσας, εὐχαριστήσας, γευσάμενος ἔδωκεν τοῖς αὐτοῦ μαθηταῖς λέγων· Λάβετε, πίετε ἐξ αὐτοῦ πάντες· τοῦτ' ἐστὶν τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Τοῦτο ποιεῖτε ἄχρις οὗ ἂν ἔλθω. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τοῦ ἐμοῦ θανάτου ἀναμιμνήσκεσθε. Μεμνημένοι τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τῶν παθημάτων, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς δευτέρας καὶ ἐνδόξου παρουσίας . . . . . .

. . . . . .

. . . . . .

25. Ναὶ Κύριε, ἡμεῖς οἱ ταπεινοὶ καὶ ἀχρεῖοι δοῦλοί σου, οὓς ποτὲ ὄντας μακρὰν κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου κατηξίωσας στῆναι ἐνώπιόν σου καὶ λειτουργῆσαι τὴν φοβερὰν ταύτην καὶ ἔνδοξον λατρείαν ὁμοῦ παρακαλοῦμεν τὴν προσ-

καλοῦμεν καὶ δεόμεθα καὶ ἱκετεύομεν, κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, *Καὶ ἀνιστάμενος σφραγίζει, λέγων μυστικῶς·* Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ. Ἀμήν. Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ. Ἀμήν. *Ὁ ἱερεὺς μυστικῶς·* Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου σου Πνεύματος, εἰς βασιλείας πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα.

26. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν καὶ παντὸς δικαίου ἐν πίστει τετελειω-

---

κυνητὴν θέοτητά σου, τὸν ἀνακαινισμὸν πάσης κτίσεως, τὴν χάριν τοῦ ἁγίου Πνεύματος, ἐλθεῖν, Κύριε, καὶ ἐπιφοιτῆσαι καὶ ἐπισκηνῶσαι ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα ἐνώπιόν σου καὶ εὐλογῆσαι αὐτὰ καὶ ἁγιάσαι καὶ ποιῆσαι τὸν ἄρτον τοῦτον σῶμα καὶ τὸ ποτήριον τοῦτο αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, σοῦ μεταβάλλοντος αὐτὰ καὶ ἁγιάζοντος τῇ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος, ἵνα γένηται ἡ μετάληψις τῶν ἐνδόξων τούτων μυστηρίων πᾶσι τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν εἰς ζωὴν τὴν αἰώνιον, εἰς ⟨ἐλπίδα⟩ ἀναστάσεως νεκρῶν, εἰς ἁγιασμὸν ψυχῆς καὶ σώματος, εἰς φωτισμὸν ἐπιγνώσεως, εἰς παρρησίαν τὴν πρὸς σὲ καὶ εἰς σωτηρίαν αἰώνιον τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

26. Ἡμᾶς δὲ πάντας σύναψον ἀλλήλοις πρὸς μίαν ὁμόνοιαν ἑνὶ συνδέσμῳ τῆς ἀγάπης καὶ τῆς εἰρήνης, ἵνα γενώμεθα ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς ἐκλήθημεν ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ἡμῶν, καὶ μηδένα ἡμῶν ποιήσῃς διὰ τὰς ἁμαρτίας αὐτοῦ κρῖμα ἑαυτῷ ἐσθίειν ἢ πίνειν μηδὲ ἀσθενῆ ἢ ἄρρωστον γενέσθαι ἐκ τοῦ ἀναξίως ἐκ τοῦ ἄρτου ἐσθίειν καὶ ἐκ τοῦ ποτηρίου πίνειν, ἀλλ' ὑποδεξαμένους τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Χριστοῦ σου ἐνίσχυσον καὶ ἐνδυνάμωσον ἡμᾶς εἰς πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σήν, ἵνα παριστάμενοι ἐνώπιόν σου ἐπὶ τοῦ φοβεροῦ ἐκείνου καὶ ἐνδόξου βήματος εὕρωμεν ἔλεον καὶ χάριν ἔμπροσθεν τοῦ θρόνου τῆς μεγαλωσύνης σου καὶ εὐφρανθῶμεν μετὰ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, ἐπισκόπων, διδασκάλων, πρεσβυτέρων, διακόνων καὶ πάντων τῶν ἐν πίστει ἀληθείας τετελειωμένων ⟨. . . καὶ⟩ ὧν αὐτὸς ἐπίστασαι τὰ

μένου· *Ἐκφών.* Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου Ἰωάννου, προδρόμου καὶ βαπτιστοῦ, καὶ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων καὶ τοῦ ἁγίου τοῦδε οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός· καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐν ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε, μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν ἀγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν ἐν ὄρεσιν καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ὑπὲρ τῶν πιστοτάτων βασιλέων, τῆς

ὀνόματος· ὧν ταῖς εὐχαῖς καὶ ἱκεσίαις ἐπίσκεψαι καὶ ἐλέησον ἡμᾶς. Ἔτι προσφέρομέν σοι ταύτην τὴν ζῶσαν, ἁγίαν, εὐπρόσδεκτον, φοβεράν, σεμνὴν καὶ ἄμωμον θυσίαν ὑπὲρ πάσης κτίσεως, ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, ὅπως αὐτὴν διαφυλάξῃς ἄσειστον, ἀκλυδώνιστον, ἄμωμον, ἄχραντον, ἄσπιλον, ἀρρυτίδωτον, ὅτι σὺ εἶπας διὰ τοῦ ἀγαπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς εἰς γενεὰς γενεῶν, ὑπὲρ πάντων τῶν πατέρων ἡμῶν καὶ ἐπισκόπων, τῶν ἁπανταχοῦ ὀρθοτομούντων τὸν λόγον τῆς πίστεως ἐν ἀληθείᾳ, ὑπὲρ παντὸς τοῦ πρεσβυτερίου, τῶν μετὰ πίστεως καὶ δικαιοσύνης καὶ ἀληθινῆς εὐσεβείας ἱερουργούντων ἐνώπιόν σου, ὑπὲρ τῶν διακόνων, τῶν ἐχόντων τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει, ὑπὲρ παντὸς τάγματος τοῦ λαοῦ τῶν ἐνθάδε καὶ πανταχοῦ ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν ἐν γνώσει ἢ ἀγνοίᾳ ἁμαρτόντων ἐνώπιόν σου καὶ πλημμεληςάντων, ὑπὲρ τῆς ἐμῆς τοῦ δούλου σου ταπεινώσεως, ᾧ ἐχαρίσω προσφέρειν σοι τὰ δῶρα ταῦτα, ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ⟨ἁγίαις⟩ σου ἐκκλησίαις καὶ ἐπὶ τοὺς πένητας τὰς ἐλεημοσύνας ἐκχεόντων. ⟨Ἔτι . . .⟩ καὶ ὑπὲρ ⟨πάσης⟩ ἀρχῆς καὶ ἐξουσίας τοῦ αἰῶνος τούτου καὶ δεόμεθά σου καὶ ἱκετεύομεν· τὴν σὴν εὐσέβειαν καὶ τὴν σὴν ἀλήθειαν ἐμφύτευσον αὐτοῖς, ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη, κατάργησον τοὺς πολέμους ἀπὸ τῶν περάτων τῆς γῆς, διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα, ἵνα ἥρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ σεμνότητι καὶ εὐσεβείᾳ. Ἔτι

φιλοχρίστου βασιλίσσης, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν· δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει κατοικούντων ἐν αὐταῖς. *Ἐκφών.* Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦδε. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς

παρακαλοῦμεν τὴν θεότητά σου, Κύριε, ὑπὲρ τῶν καρπῶν τῆς γῆς καὶ τῆς εὐκρασίας τοῦ ἀέρος, ὅπως εὐλογηθῇ ὁ στέφανος τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, ὑπὲρ τῆς πόλεως ταύτης καὶ πάσης πόλεως καὶ τῶν κατοικούντων ἐν αὐταῖς, ὅπως αὐτοὺς ἐλεήσῃς καὶ εὐλογήσῃς καὶ διατηρήσῃς καὶ διαφυλάξῃς ἐν τῇ χρηστότητί σου, ὑπὲρ πλεόντων καὶ ὁδοιπορούντων, ὑπὲρ τῶν ἐν ἀνάγκῃ ὄντων καὶ πιεζομένων, ὑπὲρ τῶν διωκομένων καὶ θλιβομένων καὶ καταπονουμένων διὰ τὸ ὄνομά σου τὸ ἅγιον, ὑπὲρ τῶν ἐν δεσμοῖς καὶ φυλακαῖς κατεχομένων, ὑπὲρ τῶν ἐν ἐξορίαις, τῶν ἐν βασάνοις ἢ πικρᾷ δουλείᾳ καὶ τῶν ἐν αἰχμαλωσίαις πιστῶν ἀδελφῶν ἡμῶν. Ἔτι δεόμεθά σου, δέσποτα Κύριε ὁ Θεός· τοῖς ὑπὸ ἀρρωστίας ἢ πικρᾶς ὀδύνης ἐνοχλουμένοις βοήθησον, πεπλανημένους ἐπίστρεψον, ἐσκωτισμένους φωταγώγησον, νοσοῦντας ἴασαι, πεπτωκότας ἔγειρον, ἑστηκότας στήριξον καὶ ἑκάστου τὸ συμφέρον κατὰ τὸ ἔλεός σου ἐκπλήρωσον. Ἔτι παρακαλοῦμεν τοὺς οἰκτιρμούς σου, Κύριε, ὑπὲρ τῶν ἐχθρῶν ἡμῶν καὶ τῶν μισούντων ἡμᾶς καὶ κακῶς ἡμῖν ἐπινοούντων οὐ πρὸς κρίσιν οὐδὲ πρὸς τιμωρίαν, δέσποτα Κύριε ὁ Θεός, ἀλλὰ πρὸς ἔλεος καὶ σωτηρίαν καὶ ἄφεσιν ἁμαρτιῶν, ὅτι πάντας ἀνθρώπους θέλεις ζῆν καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐπιστρέψαι· σὺ γὰρ ἐπέτρεψας ἡμῖν διὰ τοῦ ἀγάπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, προσεύχεσθαι ὑπὲρ τῶν ἐχθρῶν ἡμῶν καὶ τῶν μισούντων ἡμᾶς καὶ ἐπηρεαζόντων. Ναὶ Κύριε, ὅ τι ὡς ἄνθρωποι θνητοὶ παραβάντες (εἴτε ἑκόντες, εἴτε ἄκοντες) ἡμάρτομεν, ἄνες, ἄφες, πάριδε, συγχώρησον, ἀγαθέ,

---

26. Zum Schlusse von **N** vgl. **X** (in Hebr. XVII 2): ἐπὶ τῆς προσφορᾶς, ἧς ἀναφέρομεν καὶ τὰ ἁμαρτήματα λέγοντες· Εἴτε ἑκόντες, εἴτε ἄκοντες ἡμάρτομεν, συγχώρησον.

τὰ ἐλέη σου ἐξαπόστειλον· *Ἐκφών.* Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ⟨ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *Ὁ λαός·* Ἀμήν⟩.

27. ⟨*Ὁ ἱερεύς·*⟩ Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ⟨μετὰ πάντων ὑμῶν. *Ὁ λαός·* Καὶ μετὰ τοῦ πνεύματός σου⟩. *Ὁ διάκονος·* Πάντων τῶν ἁγίων ⟨μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.⟩ *Ὁ ἱερεὺς μυστικῶς·* Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, δέσποτα φιλάνθρωπε· καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης μετὰ καθαροῦ συνειδότος εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα, μηδὲ εἰς κατάκριμα. *Ὁ διάκονος·* Ἀντιλαβοῦ⟨, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς, τῇ σῇ χάριτι.⟩ Τὴν ἡμέραν πᾶσαν ⟨τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα⟩. *Ὁ ἱερεύς·* Καὶ καταξίωσον ἡμᾶς, ⟨δέσποτα, μετὰ παρρησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε, τὸν ἐπουράνιον Θεόν, Πατέρα, καὶ λέγειν·⟩

28. *Ὁ λαός·* Πάτερ ἡμῶν ⟨ὁ ἐν τοῖς οὐρανοῖς ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.⟩ *Ὁ ἱερεὺς ἐκφών.* Ὅτι σοῦ ἐστιν ἡ βασιλεία ⟨καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.⟩ *Ὁ λαός·* Ἀμήν.

29. *Ὁ ἱερεύς·* Εἰρήνη πᾶσιν. ⟨*Ὁ λαός·* Καὶ τῷ

ὁ διοικῶν τὰ πάντα κατὰ τὸ ἔλεός σου, ἵνα ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζωμέν σε καὶ ἀνυμνῶμέν σε καὶ εὐχαριστῶμέν σοι καὶ προσκυνῶμέν σε, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς σου, μεθ' οὗ, Κύριε, σοί ἐστιν ἡ δόξα καὶ τιμὴ καὶ τὸ σέβας σὺν τῷ ζῶντι καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

— 29. **Σ** (in Col. III 3): ὅταν ἡ θυσία τελεσθῇ· Εἰρήνη πᾶσιν. —

πνεύματί σου.) Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν (τῷ Κυρίῳ κλίνωμεν.) Ὁ ἱερεὺς μυστικῶς· Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει δημιουργήσας τὰ πάντα καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα. Αὐτός, δέσποτα, οὐρανόθεν ἔφιδε ἐπὶ τοὺς κεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ (μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ λαός· Ἀμήν).

30. Ὁ ἱερεύς· Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθεζόμενος καὶ ὧδε ἡμῖν ἀόρατος συνών· καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ σου. Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Τὰ ἅγια τοῖς ἁγίοις. Ὁ λαός· Εἷς ἅγιος. *Καὶ μετὰ τὸ εἰπεῖν τὸν λαὸν τὸ* Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός *λαμβάνει ἐκ τοῦ ἁγίου σώματος μερίδας καὶ βάλλει εἰς τὰ ἅγια ποτήρια καὶ λέγει·* Εἰς πλήρωμα Πνεύματος ἁγίου.

31.

32. *Καὶ μετὰ τὸ πάντας μεταλαβεῖν, λέγοντος τοῦ διακόνου τὴν εὐχήν, ἐπεύχεται ὁ ἱερεὺς μυστικῶς·* Εὐχαριστοῦμέν σοι, δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὁ καὶ τῇ παρούσῃ ἡμέρᾳ καταξιώσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων· ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν, σῶσον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας, φρούρησον

---

30. **X** (in Hebr. XVII 4, 5): ὁ ἱερεὺς . . . ταύτην ἀφίησι τὴν φωνὴν μετὰ τὸ τὴν θυσίαν ἀπαρτισθῆναι πᾶσαν . . . μεγάλῃ τῇ φωνῇ, φρικτῇ τῇ βοῇ καθάπερ τις κῆρυξ τὴν χεῖρα αἴρων εἰς ὕψος δῆλος ἑστὼς πᾶσι κατάδηλος γεγονὼς . . .· Τὰ ἅγια τοῖς ἁγίοις. **M** (Schol. in E. H. III 2): τὴν δῆωσιν τῆς μιᾶς εὐλογίας τοῦ θείου ἄρτου φησίν, ὃν ὁ ἱερεὺς λέγων· Τὰ ἅγια τοῖς ἁγίοις. (21, 24): παρὰ παντὸς τοῦ λαοῦ ἐκφωνεῖται· Εἷς ἅγιος. **G** (LXII): Confessio . . ., quae circa finem mysticae ac sacrae operationis ab omni populo fit, cum dicunt: Unus sanctus. — 31. Ueber die Modalität des Kommunionaktes vgl. Conc. in Trul. Can. 101: Εἶτις τοῦ ἀχράντου σώματος μετασχεῖν ἐν τῷ τῆς συνάξεως βουληθείη καιρῷ τὰς χεῖρας σχηματίζων εἰς τύπον σταυροῦ οὕτω προσίτω καὶ δεχέσθω τὴν κοινωνίαν τῆς χάριτος. — 32. Eutychios a. a. O. 3: μετὰ τὸ μεταλαβεῖν τοῦ ἁγίου σώματος καὶ αἵματος εὐχαριστοῦμεν. Chron. Paschale ad ann. 624: τούτῳ τῷ ἔτει . . . ἐπενοήθη ψάλλεσθαι μετὰ

ἡμῶν τὴν ζωήν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἁγίας, ἐνδόξου, δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου τῶν ἀπ' αἰώνων σοι εὐαρεστησάντων· *Ἐκφών.* Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. *Ὁ διάκονος·* Ἐν εἰρήνῃ προέλθωμεν. *Ὁ λαός·* Ἐν ὀνόματι Κυρίου.

τὸ μεταλαβεῖν· Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως, Κύριε, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλούϊα.

D-8740 -SB
5-20
CC

Frommannsche Hofbuchdruckerei (Hermann Pohle) in Jena. — 3511

THEOLOGY LIBRARY
CLAREMONT, CALIF.

Fortsetzung von der 2. Umschlagseite:

Band IV: 1. Die Apostelgeschichte, erklärt von E. Preuschen; 2. Katholische Briefe, erklärt von H. Windisch; 3. Hebräerbrief, erklärt von H. Schlosser; 4. Apokalypse, erklärt von W. Heitmüller.
Band V: Praktische Auslegung des Neuen Testaments von F. Niebergall. 1. Allgemeine Einleitung und praktische Auslegung zu Band II und V 1. Erschienen. Einzelpreis M. 5.30. Gbd. M. 7.30. 2. Praktische Auslegung zu Band III und IV. Erschienen Römerbrief und I. Korintherbrief: Lfg. 2 u. 8.

A. Marcus und E. Weber's Verlag in Bonn.

KLEINE TEXTE FÜR THEOLOGISCHE UND PHILOLOGISCHE VORLESUNGEN UND ÜBUNGEN

HERAUSGEGEBEN VON HANS LIETZMANN

1 DAS MURATORISCHE FRAGMENT und die monarchianischen prologe zu den evangelien, herausgegeben von Prof. Lic. Hans Lietzmann. 2. Aufl. 16 S. 0.30 M.

2 DIE DREI ÄLTESTEN MARTYROLOGIEN, herausgegeben von Prof. Lic. Hans Lietzmann. 16 S. 0.40 M.

3 APOCRYPHA 1: Reste des Petrusevangeliums, der Petrusapocalypse und des Kerygma Petri, herausgegeben von Prof. Lic. Dr. Erich Klostermann. 2. Aufl. 16 S. 0.30 M.

4 AUSGEWÄHLTE PREDIGTEN 1: Origines Homilic X über den propheten Jeremias, herausgegeben von Prof. Lic. Dr. Erich Klostermann. 16 S. 0.30 M.

5 LITURGISCHE TEXTE 1: Zur geschichte der orientalischen taufe und messe im 2. und 4. jahrhundert, ausgewählt von Prof. Lic. Hans Lietzmann. 16 S. 0.30 M.

6 DIE DIDACHE, mit kritischem apparat herausgegeben von Prof. Lic. Hans Lietzmann. Zweite Aufl. 16 S. 0.30 M.

7 BABYLONISCH-ASSYRISCHE TEXTE, übersetzt von Prof. Dr. Carl Bezold 1: Die schöpfungslegende. 20 S. 0.30 M.

8 APOCRYPHA II: Evangelien, herausgegeben von Prof. Lic. Dr. Erich Klostermann. 18 S. 0.40 M.

9 PTOLEMAEUS BRIEF AN DIE FLORA, herausgegeben von Prof. D. Adolf Harnack. 10 S. 0.30 M.

10 DIE HIMMELFAHRT DES MOSE, herausgegeben von Prof. Lic. Dr. Carl Clemen. 16 S. 0.30 M.

11 APOCRYPHA III: Agrapha, neue Oxyrhynchusiogia, hrsgeg. von Prof. Lic. Dr. Erich Klostermann. 20 S. 0.40 M.

12 APOCRYPHA IV: Die apokryphen briefe des Paulus an die Laodicener und Korinther, herausgegeben von Prof. D. Adolf Harnack. 23 S. 0.40 M.

13 AUSGEWÄHLTE PREDIGTEN II: Fünf festpredigten Augustins in gereimter prosa, herausgegeben von Prof. Lic. Hans Lietzmann. 16 S. 0.30 M.

14 Griechische Papyri, ausgewählt und erklärt von Lic. Hans Lietzmann. 16 S. 0.40 M.

15/16 Der Prophet Amos, Hebräisch und Griechisch, herausgegeben von D. Johannes Meinhold und Lic. Hans Lietzmann. 32 S. 1.00 M.

17/18 Symbole der alten Kirche, ausgewählt von Prof. Lic. Hans Lietzmann. 32 S. 0.80 M.

19 Liturgische Texte II: Ordo missae secundum missale romanum, herausgegeben von Prof. Lic. Hans Lietzmann. 23 S. 0.40 M.

20 Antike Fluchtafeln, ausgewählt und erklärt von Prof. Dr. Richard Wünsch. 28 S. 0.60 M.

21 Die Wittenberger u. Leisniger Kastenordnung 1522, 1523, herausg. v. Prof. Lic. H. Lietzmann. 24 S. 0.60 M.

22/23 Die jüdisch-aramäischen Papyri von Assuan sprachlich u. sachlich erklärt von Lic. Dr. W. Staerk. 39 S. 1.00 M.

24/25 Martin Luthers geistliche Lieder herausgegeben von Prof. Dr. Albert Leitzmann. 31 S. 0.60 M.

26/27/28 Lateinische christliche Inschriften mit einem anhang jüdischer inschriften, ausgewählt und erklärt von Prof. Dr. Ernst Diehl. 48 S. 1.20 M.

29/30 Res gestae divi Avgvsti, herausgegeben und erklärt von Prof. Dr. Ernst Diehl. 39 S. 1.20 M.

31 Zwei neue Evangelienfragmente, herausgegeben und erklärt von H. B. Swete. 15 S. 0.40 M.

32 Aramäische Urkunden zur Geschichte des Judentums im VI und V Jahrhundert vor Chr., sprachlich und sachlich erklärt von Prof. Lic. Dr. W. Staerk. 16 S. 0.60 M.

33/34 Supplementum Lyricum, neue bruchstücke von Archilochus Alcaeus Sappho Corinna Pindar, ausgewählt und erklärt von Prof. Dr. Ernst Diehl. 35 S. 1.00 M.

35 Liturgische Texte III: Die konstantinopolitanische messliturgie vor dem IX jahrhundert: Uebersichtliche zusammenstellung des wichtigsten quellenmaterials von Dr. Anton Baumstark. 16 S. 0.40 M.

36 Liturgische Texte IV: Martin Luthers Von ordnung gottesdiensts, Taufbüchlein, Formula missae et communionis 1523 herausgegeben von Prof. D. Hans Lietzmann. 24 S. 0.60 M.

37 Liturgische Texte V: Martin Luthers Deutsche Messe 1526, herausgegeben von Prof. D. Hans Lietzmann. 16 S. 0.40 M.

Frommannsche Buchdruckerei (Hermann Pohle) in Jena. — 3511

BV
185
B29

Baumstark, Anton, 1872-1948.

Die Konstantinopolitanische Messliturg vor dem IX Jahrhundert; übersichtliche Zusammenstellung des wichtigsten Quellen materials von Anton Baumstark. Bonn, A. Marcus und E. Weber, 1909.

16p. 21cm. (Liturgische Texte, 3) (Texte für Vorlesungen und Übungen, 35)

1. Liturgies, Early Christian. I. Tit II. Series. III. Series.

A23785

CCSC/mm